**27** P. Berol. 13270, ed. Schubart-Wilamowitz, *BKT* v (2). 62

⊗ χαίρετε συμπόται ἄνδρες ὁμ[. . . . . .· ἐ]ξ ἀγαθοῦ γὰρ
ἀρξάμενος τελέω τὸν λόγον [ε]ἰ̣ς ἀγα̣[θό]ν̣.
χρὴ δ', ὅταν εἰς τοιοῦτο συνέλθωμεν φίλοι ἄνδρες
πρᾶγμα, γελᾶν παίζειν χρησαμένους ἀρετῆι,
ἥδεσθαί τε συνόντας, ἐς ἀλλήλους τε φ[λ]υαρεῖν
καὶ σκώπτειν τοιαῦθ' οἷα γέλωτα φέρειν.
ἡ δὲ σπουδὴ ἑπέσθω, ἀκούωμέν [τε λ]εγόντων
ἐν μέρει· ἥδ' ἀρετὴ συμποσίου πέλ̣ε̣ται.
τοῦ δὲ ποταρχοῦντος πειθώμεθα· ταῦτα γάρ ἐστιν
ἔργ' ἀνδρῶν ἀγαθῶν, εὐλογίαν τε φέρειν. ⊗

**28** P. Oxy. 2327 fr. 1 + 2(*a*) col. i. 3-12, ed. Lobel

⊗? ο]ὐ̣ δύναμαι, ψυχ̣[ή,] π̣εφυλαγμένος̣ ε[ἶ]ναι ὀπηδός·
χ̣ρυσῶπιν δὲ Δίκ[ην ἅζ]ομαι ἀχνύ̣με̣νος,
ἐ]ξ̣ οὗ τὰ πρώτιστα̣ νεο[τρεφέ]ω̣ν ἀπὸ μηρῶ[ν
ἡ]μετέρης εἶδον̣ τέρμ[ατα πα]ι̣δ̣είης,
κ]υ̣ά̣[ν]εον δ' ἐλεφαντίνεόν [τ' ἀνεμί]σγετο φέ̣[γγος,
. . . . .] δ' ἐκ νιφάδων [. . . . . . . . .(.) ἰ]δεῖν.
ἀλλ' αἰδ]ὼ̣ς ἤρυκε, νέου δ.[. .].ι[ ] ὕβριν
]ἐπέβη[ ]νοι·
]οφύλλοις
← ? ἀκροπόλοις]